20 Φεβρουαρίου 2014

# Εξομολόγησις πιστού – Αγίου Νεκταρίου



ατέρες - Γέροντες /

Θεός εμοί δόξα και πλούτος και καύχημα.

Θεός το γλυκύτατον και ήδιστον υπέρ παν πράγμα.

Θεός το μελέτημα και εντρύφημα.

Θεού πνοής η ψυχή μου δημιούργημα.

Θεού πλάσμα το σώμα μου.

Θεού ειμί όλως εικών.

Θεού θεία χάριτι γένος.

Θεόθεν μοι το είναι, το κινείσθαι· θεόθεν το φθέγγεσθαι έλαβον.

Θεώ καθ’ εκάστην το πνέυμα παρατίθημι.

Θεώ τας ευχάς μου, όσαι ώραι, προσάγω.

Θεώ ζω και δουλεύω και πάρειμι.

Θεόν τον μέγαν και ισχυρόν και ζώντα πάροχον και συλλήπτορα και τελειωτήν των καλών ευμοιρώ.

Θεόν επόπτην, ων και νοώ και λέγω και πράττω και πλουτώ.

Θεόν κριτήν φοβερόν των εν εμοί πεπραγμένων εκδέχομαι.

Θεόν ίλεων και συγγνώμονα έχω.

Θεόν μακρόθυμον και πολυέλεον ομολογώ.

Θεόν σωτήρα και λυτρωτήν μου και Κύριον ανακηρύττω.

Θεόν αρχήν των πάντων γινώσκω.

Θεόν δοτήρα των αγαθών οίδα.

Θεόν προνοητήν και επόπτην επίσταμαι.

Θεόν πάνσοφον και παντογνώστην, τον γινώσκοντα τα μέλλοντα και τα παρόντα και τα παρελθόντα επιγινώσκω.

Θεόν αγαθόν και άγιον και δίκαιον και αληθινόν υμνώ και δοξάζω και ευλογώ και υπερυψώ.

Θεόν φιλάνθρωπον προσκυνώ και λατρεύω.

Θεώ πιστεύω.

Επί Θεόν ελπίζω και την ελπίδα της σωτηρίας μου ανατίθημι.

Θεόν την πηγήν της αγάπης αγαπώ και επιποθώ.

Προς τον Θεόν η ψυχή μου σπένδεται.

Προς τον Θεόν η διάνοιά μου ανυψουμένη επαναπαύεται.

Τον Θεόν η καρδία μου επιποθεί.

Ένα Θεόν τρισήλιον, την τρισυπόστατον θεότητα, ομολογώ·

μίαν Θεότητα άναρχον, αϊδιον, απλήν, υπερούσιον, αμέριστον κηρύττω·

την αυτήν Μονάδα και Τριάδα· όλην Μονάδα την αυτήν, και όλην Τριάδα την αυτήν·

Μονάδα όλην κατ’ ουσίαν την αυτήν, και Τριάδα όλην κατά τας υποστάσεις την αυτήν πιστεύω και ομολογώ·

διότι μία θεότης ο Πατήρ, ο Υιός και το Άγιον Πνεύμα, μία δύναμις, μία σύνταξις,

μία προσκύνησις η της ομοουσίου Τριάδος·

διότι μία και η αυτή φύσις και ουσία του Πατρός και του Υιού και του αγίου Πνεύματος.

**Ταύτα ομολογώ και πιστεύω και κηρύττω και φθέγγομαι.**

**Πηγή:** agathan.wordpress.com